Ακαδημία Αθηνών / Academy of Athens

*ἐνδηλότατα ἓν ἕκαστόν ἐστι καὶ ἦν* Διογένης 8 *ἀλλὰ τοῦτό μοι δῆλον δοκεῖ εἶναι, ὅτι καὶ μέγα καὶ ἰσχυρὸν καὶ ἀίδιόν τε καὶ ἀθάνατον καὶ π ο λ λ ὰ εἰδός ἐστι* Δημόκριτος 3 *τὸν εὐθυμεῖσθαι μέλλοντα χρὴ μὴ π ο λ λ ὰ πρήσσειν, μήτε ἰδίῃ μήτε ξυνῇ, μηδὲ ἅσσ' ἂν πράσσῃ, ὑπέρ τε δύναμιν αἱρεῖσθαι τὴν ἑωυτοῦ καὶ φύσιν· ἀλλὰ τοσαύτην ἔχειν φυλακήν, ὥστε καὶ τῆς τύχης ἐπιβαλλούσης καὶ ἐς τὸ π λ έ ο ν ὑπηγεομένης τῷ δοκεῖν, κατατίθεσθαι, καὶ μὴ π λ έ ω προσάπτεσθαι τῶν δυνατῶν* 35 *γνωμέων μεν τῶνδε εἴ τις ἐπαΐοι ξὺν νόῳ, π ο λ λ ὰ μὲν ἔρξει πράγματ' ἀνδρὸς ἀγαθοῦ ἄξια, π ο λ λ ὰ δὲ φλαῦρα οὐχ ἔρξει* 85 *ὁ ἀντιλογεόμενος καὶ π ο λ λ ὰ λεσχηνευόμενος ἀφυὴς ἐς μάθησιν ὧν χρὴ* 119 *τὰ δὲ π λ ε ῖ σ τ α ἐν βίῳ εὐξύνετος ὀξυδερκείη κατιθύνει* 191.12 *καὶ μηκέτι π λ ε ι ό ν ω ν ἐπιθυμέοντι συμβαίνῃ κακοπαθεῖν τῇ ψυχῇ* 224 *ἡ τοῦ π λ έ ο ν ο ς ἐπιθυμίη τὸ παρεὸν ἀπόλλυσι* 280 *ἔξεστιν οὐ π ο λ λ ὰ τῶν σφετέρων ἀναλώσαντας παιδεῦσαί τε τοὺς παῖδας* 284 *ἢν μὴ π ο λ λ ῶ ν ἐπιθυμέῃς, τὰ ὀλίγα τοι π ο λ λ ὰ δόξει· σμικρὰ γὰρ ὄρεξις πενίην ἰσοσθενέα πλούτῳ ποιέει* Ἀρχύτας 1.56 *ὅτι μὲν δὴ τοὶ ὀξεῖς φθόγγοι τάχιον κινέονται, οἱ δὲ βαρεῖς βράδιον, φανερὸν ἁμῖν ἐκ π ο λ λ ῶ ν γέγονεν.* || **πολλά-πλέονα** (σὲ ἀντίθεση πρὸς τὸ ἕν). Ζήνων 1.8 *οὕτως εἰ π ο λ λ ά ἐστιν, ἀνάγκη αὐτὰ μικρά τε εἶναι καὶ μεγάλα* 3.1-2-4 *εἰ π ο λ λ ά ἐστιν, ἀνάγκη τοσαῦτα εἶναι ὅσα ἐστὶ καὶ οὔτε π λ ε ί ο ν α αὐτῶν οὔτε ἐλάττονα ... εἰ π ο λ λ ά ἐστιν, ἄπειρα τὰ ὄντα ἐστὶν* Μέλισσος 8(2)-(4)-(5)-(6) *εἰ γὰρ ἦν π ο λ λ ά, τοιαῦτα χρὴ αὐτὰ εἶναι, οἷόν περ ἐγώ φημι τὸ ἓν εἶναι ... φαμένοις γὰρ εἶναι π ο λ λ ὰ καὶ ἀίδια (?) καὶ εἴδη τε καὶ ἰσχὺν ἔχοντα, πάντα ἑτεροιοῦσθαι ἡμῖν δοκεῖ καὶ μεταπίπτειν ἐκ τοῦ ἑκάστοτε ὁρωμένου. δῆλον τοίνυν, ὅτι οὐκ ὀρθῶς ἑωρῶμεν οὐδὲ ἐκεῖνα π ο λ λ ὰ ὀρθῶς δοκεῖ εἶναι ... οὕτως οὖν, εἰ π ο λ λ ὰ εἴη, τοιαῦτα χρὴ εἶναι, οἷόν περ τὸ ἕν* Ἐμπεδοκλῆς 17.2-9-10-17 *δίπλ' ἐρέω· τοτὲ μὲν γὰρ ἓν ηὐξήθη μόνον εἶναι ἐκ π λ ε ό ν ω ν, τοτὲ δ' αὖ διέφυ π λ έ ο ν' ἐξ ἑνὸς εἶναι ... ⟨οὕτως ᾗ μὲν ἓν ἐκ π λ ε ό ν ω ν μεμάθηκε φύεσθαι⟩ ἠδὲ πάλιν διαφύντος ἑνὸς π λ έ ο ν' ἐκτελέθουσι ... τοτὲ μὲν γὰρ ἓν ηὐξήθη μόνον εἶναι ἐκ π λ ε ό ν ω ν, τοτὲ δ' αὖ διέφυ π λ έ ο ν' ἐξ ἑνὸς εἶναι* 26.8-9 *οὕτως ᾗ μὲν ἓν ἐκ π λ ε ό ν ω ν μεμάθηκε φύεσθαι ἠδὲ πάλιν διαφύντος ἑνὸς π λ έ ο ν' ἐκτελέθουσι.* || **τὸ πολύ** (ὡς περιέχον). Ἀναξαγόρας 2 *καὶ γὰρ ἀήρ τε*

Ακαδημία Αθηνών / Academy of Athens

*καὶ αἰθὴρ ἀποκρίνονται ἀπὸ τ ο ῦ π ο λ λ ο ῦ τοῦ περιέχοντος, καὶ τό γε περιέχον ἄπειρόν ἐστι τὸ πλῆθος* 14 *ὁ δὲ νοῦς, ὅς ἀεί ἐστι, τὸ κάρτα καὶ νῦν ἐστιν ἵνα καὶ τὰ ἄλλα πάντα, ἐν τ ῷ π ο λ λ ῷ περιέχοντι καὶ ἐν τοῖς προσκριθεῖσι καὶ ἐν τοῖς ἀποκεκριμένοις.* || **τὸ πλέον.** Παρμενίδης 16.4 *τ ὸ γὰρ π λ έ ο ν ἐστὶ νόημα.*

**πολύσημος.** Πολύσημος, with many significations, Δημόκριτος 26 καλεῖ δὲ ὁ αὐτὸς (sc. Δημόκριτος) τὸ μὲν πρῶτον ἐπιχείρημα *π ο λ ύ σ η μ ο ν*, τὸ δὲ δεύτερον *ἰσόρροπον* ⟨τὸ δὲ τρίτον *μετώνυμον*⟩, τὸ δὲ τέταρτον *νώνυμον*.

**πολυσπερής.** Πολύσπερμος, abounding in semens, Ἐμπεδοκλῆς 74 *φῦλον ἄμουσον ἄγουσα π ο λ υ σ π ε ρ έ ω ν καμασήνων.*

**πολυτελής.** Πλουσιοπάροχος/κατάμεστος, richly supplied, Δημόκριτος 210 *τράπεζαν π ο λ υ τ ε λ έ α μὲν τύχη παρατίθησιν, αὐταρκέα δὲ σωφροσύνη.*

**πολύτροπος.** Πολύτροπος, multiform, Διογένης 5.8-19-20 *πολλοὶ τρόποι καὶ αὐτοῦ τοῦ ἀέρος καὶ τῆς νοήσιός εἰσιν· ἔστι γὰρ π ο λ ύ τ ρ ο π ο ς ... ἅτε οὖν π ο λ υ τ ρ ό π ο υ ἐούσης τῆς ἑτεροιώσιος π ο λ ύ τ ρ ο π α καὶ τὰ ζῷα καὶ πολλά.* Πρβλ. *τρόπος, εὐτροπίη.*

**πολύφημος.** Μεστὸς διδαχῆς, full of teaching, Παρμενίδης 1.2 *ἵπποι ταί με φέρουσιν, ὅσον τ' ἐπὶ θυμὸς ἱκάνοι, πέμπον, ἐπεί μ' ἐς ὁδὸν βῆσαν π ο λ ύ φ η μ ο ν ἄγουσαι δαίμονες, ἣ κατὰ πάντ' ἄστη φέρει εἰδότα φῶτα.*

**πολυφθερής.** Πολύφθαρτος, multidestructible, Ἐμπεδοκλῆς 113.2 *εἰ θνητῶν περίειμι π ο λ υ φ θ ε ρ έ ω ν ἀνθρώπων.*

**πολύφραστος.** Περίφημος/πολὺ αἰσθαντικός, famous/sensitive, Παρμενίδης 1.4 *τῇ γάρ με π ο λ ύ φ ρ α σ τ ο ι φέρον ἵπποι.*

**πολυφροσύνη.** Πολλαπλὴ φρόνηση/πολύπλευρη εἰδημοσύνη, wisdom on many fields/many-sided wisdom, Δημόκριτος 40

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ